⁋ Ἔμοιγε δοκεῖ. ⁋ Ἆρ᾽ οὖν δοκεῖ σοι ἀνθρώπῳ δυνα-
τὸν εἶναι τὰ ὄντα πάντα ἐπίστασθαι; ⁋ Οὐδὲ μὰ
Δί᾽ ἔμοιγε πολλοστὸν μέρος αὐτῶν. ⁋ Πάντα μὲν
ἄρα σοφὸν οὐχ οἷόν τε ἄνθρωπον εἶναι; ⁋ Μὰ Δί᾽ οὐ
δῆτα, ἔφη. ⁋ Ὃ ἄρα ἐπίσταται ἕκαστος, τοῦτο καὶ
8 σοφός ἐστιν; ⁋ Ἔμοιγε δοκεῖ. ⁋ Ἆρ᾽ οὖν, ὦ Εὐ-
θύδημε, καὶ τἀγαθὸν οὕτω ζητητέον ἐστί; ⁋ Πῶς;
ἔφη. ⁋ Δοκεῖ σοι τὸ αὐτὸ πᾶσιν ὠφέλιμον εἶναι;
⁋ Οὐκ ἔμοιγε. ⁋ Τί δέ; τὸ ἄλλῳ ὠφέλιμον οὐ δοκεῖ
σοι ἐνίοτε ἄλλῳ βλαβερὸν εἶναι; ⁋ Καὶ μάλα, ἔφη.
⁋ Ἄλλο δ᾽ ἄν τι φαίης ἀγαθὸν εἶναι, ἢ τὸ ὠφέλιμον;
⁋ Οὐκ ἔγωγ᾽, ἔφη. ⁋ Τὸ ἄρα ὠφέλιμον, ἀγαθόν
9 ἐστιν, ὅτῳ ἂν ὠφέλιμον ᾖ; ⁋ Δοκεῖ μοι, ἔφη. ⁋ Τὸ
δὲ καλὸν ἔχοιμεν ἂν πως ἄλλως εἰπεῖν, ἢ, εἰ ἔστιν,
ὀνομάζεις καλὸν ἢ σῶμα ἢ σκεῦος ἢ ἄλλ᾽ ὁτιοῦν, ὃ
οἶσθα πρὸς πάντα καλὸν ὄν; ⁋ Μὰ Δί᾽ οὐκ ἔγωγ᾽,
ἔφη. ⁋ Ἆρ᾽ οὖν, πρὸς ὃ ἂν ἕκαστον χρήσιμον ᾖ, πρὸς
τοῦτο ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; ⁋ Πάνυ μὲν οὖν,
ἔφη. ⁋ Καλὸν δὲ πρὸς ἄλλο τι ἐστὶν ἕκαστον, ἢ πρὸς
ὃ ἑκάστῳ καλῶς ἔχει χρῆσθαι; ⁋ Οὐδὲ πρὸς ἓν ἄλ-
λο, ἔφη. ⁋ Τὸ χρήσιμον ἄρα καλόν ἐστι, πρὸς ὃ
10 ἂν ᾖ χρήσιμον; ⁋ Ἔμοιγε δοκεῖ, ἔφη. Ἀνδρίαν
δὲ, ὦ Εὐθύδημε, ἄρα τῶν καλῶν νομίζεις εἶναι;
⁋ Κάλ-

*θομεν — οὐδὲν ἄλλο σημαίνοντες τὴν σοφίαν, ἢ ὅτι ἀρετὴ τέχνης ἐστὶ*, Aristot. Eth. Nicom. VI, 7. *Hindeb.*

§. 9. *ἢ, εἰ ἔστιν, ὀνομάζεις*] *Quam, si licet, (si res ita permittit) dicis* etc. In marg. Steph. est *ἢ ἔνεστιν ὀνομάζειν*, quod quamquam Wellsius in textum recepit, nil tamen nisi vulgati est interpretamentum. MS. 1 habet *ἢ καὶ ἐστὶν ὀνομάζειν*. Vulgatum igitur cur viris doctis tantopere displiceret, non erat. Reiskii quidem coniecturam *ἢ, ᾧ ἐστιν, ὃ ὀνομ.* aut rationem eius, qua mox *ὃ* deleatur, merito damnat Ernestus, qui coniicit *ἢ ἔστιν, ὃ ὀνομάζεις.* quamquam recte vidit, si *εἰ ἔστιν* dicatur, vt *εἰ τύχοι*, *exempli caussa*, vulgatum sanum esse. Hindeburgius emendat *ἢ, ᾗ ἔστιν ὀνομάζειν.* Strothius legendum putat *ἢ ἔστιν, εἰ ὀνομάζεις*, vel *ἢ, εἴ ἐστιν ὅτε ὀνομάζεις.* Schützius denique emendat et fidenter edit *ἢ εἰ ἔστιν ὀνομάζειν.* Vulgatam tenent Vatic. 1, Florent. A. B. C. In Flor. E est *ἔχοι.*

§. 10. *ἀνδρίαν δὲ*] Edd. vett., excepta Castal., Steph. pr., hinc Leonclauianae, omittunt *δὲ*. Sed Steph. sec. et Stobaeus p. 94 habent. Atque pro *ἀνδρείαν* emendaui *ἀνδρίαν*. vid. ad I, 1, 16.

Sächsische Landesbibliothek – Staats- und Universitätsbibliothek Dresden
http://digital.slub-dresden.de/id375455116/298
gefördert von der Deutschen Forschungsgemeinschaft DFG